πρώτως ἐνυπάρχειν πέφυκεν. ὥσπερ γάρ, εἰ θερμοῦ τὸ
954 κουφίζειν, θερμότατόν ἐστι τὸ κουφότατον, | εἰ δ' ὑγροῦ
τὸ μαλάσσειν, ὑγρότατον τὸ μαλακώτατον, οὕτως, εἰ
ψυχροῦ τὸ πηγνύειν, ἀνάγκη ψυχρότατον εἶναι τὸ μάλιστα
πεπηγός, οἷον ἡ γῆ. τὸ δὲ ψυχρότατον φύσει δήπου καὶ
πρώτως ψυχρόν· ὥστε φύσει καὶ πρώτως ψυχρὸν ἡ γῆ.
τοῦτο δ' ἀμέλει καὶ τῇ αἰσθήσει δῆλόν ἐστι· καὶ γὰρ
πηλὸς ὕδατος ψυχρότερος καὶ τὸ πῦρ γῆν ἐπιφοροῦντες
ἀφανίζουσιν· οἱ δὲ χαλκεῖς τῷ πυρουμένῳ καὶ ἀνατηκο-
μένῳ σιδήρῳ μάρμαρον καὶ λατύπην παραπάσσουσι, τὴν
πολλὴν ῥύσιν ἐφιστάντες καὶ καταψύχοντες· ψύχει δὲ καὶ
B τὰ τῶν ἀθλητῶν ἡ κόνις σώματα καὶ κατασβέννυσι τοὺς
ἱδρῶτας.

20. Ἡ δὲ καθ' ἕκαστον ἐνιαυτὸν ἡμᾶς μετάγουσα καὶ
μετοικίζουσα χρεία τί βούλεται, χειμῶνος μὲν ἀπωτάτω
φεύγουσα τῆς γῆς εἰς τὰ μετέωρα καὶ ἀπόγεια, θέρους
δὲ πάλιν ἀντεχομένη τῶν κάτω καὶ ὑποδυομένη καὶ διώ-
κουσα προσφόρους καταφυγάς, τιθεμένη τὴν δίαιταν ἐν
ἀγκάλαις γῆς ἀγαπητῶς; ἆρ' οὐχὶ ταῦτα ποιοῦμεν ἐπὶ
τὴν γῆν ὑπὸ ψυχρότητος ὁδηγούμενοι τῇ αἰσθήσει καὶ τὸ
πρώτως ⟨καὶ⟩ φύσει ψυχρὸν ἐπιγινώσκοντες; αἱ γοῦν
□ παράλιοι χειμῶνος δίαιται τρόπον τινὰ γῆς φυγαί εἰσιν,
ὡς ἄνυστὸν ἀπολειπόντων διὰ κρύος αὐτήν, τὸν δ' ἔναλον
C ἀέρα καὶ πελάγιον θερμὸν ὄντα περιβαλλομέν⟨ων⟩· εἶτ'